ὅτι χρύσεια χαλκείων, ἑκατόμβοια ἐννεαβοίων ἔμελλε δια-
μείψεσθαι. καίτοι τὰ μὲν χάλκεα τῶν ὅπλων οὐχ ἧττον ἢ
τὰ χρυσᾶ παρεῖχε χρείαν μαχομένοις, εὐπρέπεια δὲ σώ-
ματος καὶ ὑγίεια τοῖς Στωικοῖς οὔτε χρείαν οὔτ᾽ ὄνησίν
τινα φέρει πρὸς εὐδαιμονίαν· | ἀλλ᾽ ὅμως οὗτοι τῆς φρο- 1064
νήσεως ἀντικαταλλάττονται τὴν ὑγίειαν. καὶ γὰρ Ἡρα-
κλείτῳ φασὶ καὶ Φερεκύδῃ καθήκειν ἄν, εἴπερ ἠδύναντο,
τὴν ἀρετὴν ἀφεῖναι καὶ τὴν φρόνησιν, ὥστε παύσασθαι
φθειριῶντας καί ὑδρωπιῶντας· καὶ τῆς Κίρκης ἐγχεούσης
δύο φάρμακα, τὸ μὲν ποιοῦν ἄφρονας ἐκ φρονίμων τὸ δ᾽
ο . . . τὸν Ὀδυσσέα πιεῖν τὸ τῆς ἀφροσύνης μᾶλλον ἢ μετα-
βαλεῖν εἰς θηρίου μορφὴν τὸ εἶδος, ἔχοντα τὴν φρόνησιν —
καὶ μετὰ τῆς φρονήσεως δηλονότι τὴν εὐδαιμονίαν —, καὶ
ταῦτά φασιν αὐτὴν ὑφηγεῖσθαι καὶ παρακελεύεσθαι τὴν B
φρόνησιν· ‘ἄφες με καὶ καταφρόνησον ἀπολλυμένης ἐμοῦ
καὶ διαφθειρομένης εἰς ὄνου πρόσωπον.’ ἀλλ᾽ ὄνου γε,
φήσει τις, ἡ τοιαῦτα παραγγέλλουσα φρόνησίς ἐστιν, εἰ τὸ
μὲν φρονεῖν καὶ εὐδαιμονεῖν ἀγαθόν ἐστι τὸ δ᾽ ⟨ὄνου⟩
περιφέρειν πρόσωπον ἀδιάφορον. ἔθνος εἶναί φασιν Αἰθιό-
πων, ὅπου κύων βασιλεύει καὶ βασιλεὺς προσαγορεύεται
καὶ γέρα καὶ τιμὰς ἔχει βασιλέως, ἄνδρες δὲ πράσσουσιν
ἅπερ ἡγεμόσι πόλεων προσήκει καὶ ἄρχουσιν. ἆρ᾽ οὖν παρὰ
τοῖς Στωικοῖς ὁμοίως τὸ μὲν ὄνομα καὶ τὸ σχῆμα τοῦ
ἀγαθοῦ πάρεστι τῇ ἀρετῇ καὶ μόνην ταύτην αἱρετὸν καὶ
ὠφέλιμον καὶ συμφέρον καλοῦσι, πράττουσι δὲ πάντα καὶ C
φιλοσοφοῦσι καὶ ζῶσι καὶ ἀποθνῄσκουσιν ὥσπερ ἀπὸ προσ-